www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ὅσιον Εὐθύμιον τὸν μέγαν

Ἦχος πλ.β΄

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ἱλαρίωνος Μοναχοῦ*

# Κανὼν εἰς τὸν Ὅσιον Εὐθύμιον τὸν μέγαν, οὗ ἡ ἀκροστιχίς, κατ’ «Ἀλφάβητον», ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.» Ἦχος πλ.β΄.

*ᾨδὴ Α΄ Ὡς ἐν ἠπείρῳ πεζεύσας.*

Ἀπὸ κοιλίας μητρός σου ἀνατεθείς, τῷ Θεῷ Εὐθύμιε, τῶν προσκαίρων καλλονήν, ὑπερεῖδες Πάτερ νουνεχῶς, καὶ Χριστὸν κατηκολούθησας μακάριε.

Βιωτικῶν ἀπορρίψας τὸ φορτικόν, ἄχθος ἀνεπτέρωσας, δι’ ἀσκήσεως τὸν νοῦν, καὶ τῶν ἀρετῶν σου ταῖς αὐγαῖς, οἰκουμένης κατεφαίδρυνας τὰ πέρατα.

Γεωσπορήσας πανόλβιε τῆς ψυχῆς, ἄρουραν τοῖς πόνοις σου, καὶ καμάτοις τὸν καρπόν, ὑπερεπλεόνασας σοφέ, καὶ ἐδείχθης ἀληθῶς ὡς μεγαλέμπορος.

*Θεοτοκίον.*

Ἴαμα ὤφθης Παρθένε τοῦ τῶν βροτῶν, γένους ὡς κυήσασα, ἀπειράνδρως τὸν Υἱόν, τοῦ Πατρὸς καὶ Λόγον ἐν σαρκί, καθ’ ἡμᾶς ὑπὲρ κατάληψιν καὶ ἔννοιαν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ὠιδὴ Γ΄ Οὐκ ἔστιν ἅγιος ὡς σύ.*

Δένδρον καθάπερ φυτευθέν, ἐν ῥοαῖς τῶν ὑδάτων, θεοφόρε ὡράθης, καρποφόρον ἀληθῶς, καὶ γὰρ αὐχμῶσαν τὸ πρίν, ὅλως Πάτερ, ἔρημον ἐπόλισας.

Ἐν τόπῳ Πάτερ τῷ σεπτῷ, ᾧπερ ἔστησαν πόδες, τοῦ Θεοῦ ἡμῶν οἶκον, ἐδομήσω ἱερόν, ἀσκητικῆς ἀγωγῆς, ἰατρεῖον τῶν ψυχῶν Εὐθύμιε.

Ζηλῶν τὰ κρείττονα σοφέ, ἐγκρατείᾳ τὴν σάρκα, ὑπεδούλωσας Πάτερ, καὶ συντόνῳ προσευχῇ, προσομιλῶν τῷ Θεῷ, καθωράθης ἐσαεὶ πανόλβιε.

*Θεοτοκίον.*

Λαὸν αὐτοῦ ὁ ποιητής, βουληθεὶς εἰς τὸ σῶσαι, ἐκ σοῦ ἄφθορε ὤφθη, τοῖς ἀνθρώποις ἐν μιᾷ, τῇ ὑποστάσει διπλοῦς, Θεὸς ἅμα τε καὶ ἄνθρωπος.

*Ὠιδὴ Δ΄ Χριστός μου δύναμις.*

Ἡ κτίσις Ὅσιε, χαρὰν ἐκτήσατο, σοῦ τεχθέντος Εὐθύμιε ἀληθῶς, καὶ τῶν θαυμασίων σου, τὴν εὐθυμίαν τῶν πολλῶν, θεοφόρε προσεκτήσατο.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


Θεοῦ Εὐθύμιε μακαριώτατε, ἀναδέδειξαι στόμα καὶ γὰρ τοὺς πρίν, σκότει ἐγκαθεύδοντας, τῆς ἀθεΐας τοῦ Χριστοῦ, τῷ φωτὶ Πάτερ κατηύγασας.

Ἰσχὺν τοῦ δράκοντος καταπεφρόνηκας, καὶ τὴν ἔρημον ᾤκησας καὶ δεινῶς, τοῦτον κατεπάλαισας, ἰσχύει Πάτερ τοῦ Χριστοῦ, καὶ τοὺς βρόχους κατασυνέτριψας.

*Θεοτοκίον.*

Ἁγνὴ διέμεινας, Παρθένος Δέσποινα, ὡς πρὸ τόκου Θεόνυμφε Μαριάμ, τοῦ Πατρὸς κυήσασα, τὸν ὁμοούσιον Υἱόν, καὶ τοῦ Πνεύματος τὸν σύνθρονον.

*Ὠιδὴ Ε΄ Τῷ θείῳ φέγγει σου.*

Κανὼν καὶ θεῖος ὑπογραμμός, ὤφθης μοναζόντων τοῖς χοροῖς, σημειοφόρε Εὐθύμιε, καὶ ὑφηγητὴς τῶν τοῦ Θεοῦ, σεπτῶν ἐντολῶν, ὡς ἔσοπτρον τοῦ Πνεύματος καθαρώτατον.

Λιταῖς σου μάκαρ ἐξ οὐρανοῦ, ὑετὸν κατήγαγες τῇ γῇ, δεινῶς αὐχμώσῃ πανόσιε, καὶ πεινώντων πλήθη εὐχῇ, τῇ σῇ πρὸς Θεόν, ἐνέπλησας πλουσίως ἀξιοθαύμαστε.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Μανίᾳ Πάτερ τῇ δυσσεβεῖ, καὶ πανωλεθρίῳ τοὺς αὐτῇ, ἐμπεπτωκότας τοῦ Μάνεντος, τοῖς μελισταγέσι τῶν σῶν, λογίων πλοκῇ, ἐξήγειρας θεόφρον σοφὲ Εὐθύμιε.

*Θεοτοκίον.*

Ῥυσθεῖσα φύσις ἡ τῶν βροτῶν, τῆς ἀρᾶς τῆς πάλαι διὰ σοῦ, Θεοχαρίτωτε Δέσποινα, καὶ ὡς τῇ τοῦ Λόγου Μητρί, προσφέρει ἀεί, τὸν ὕμνον ἐπαξίως καὶ μακαρίζει σε.

*Ὠιδὴ ΣΤ΄ Τοῦ βίου τὴν θάλασσαν.*

Νικῶν ὤφθης Ὅσιε τῶν αἱρέσεων φωνάς, τῶν ἐναντίων πάνσοφε, τοῖς σοῖς λόγοις καὶ τούτων ἐπιβουλάς, εἰς τέλος ἀπήμβλυνας, ταῖς εὐχαῖς σου Εὐθύμιε πανόλβιε.

Ξενίζον ὡράθη σοι Πάτερ θαῦμα καὶ γὰρ σύ, ὡς λειτουργῶν μακάριε, τὴν θυσίαν τὴν θείαν καὶ μυστικήν, Ἀγγέλους Εὐθύμιε, παρεστῶτάς σοι ἔσχες ἱερώτατε.

Ὁσίων πανόλβιε, συναγείρων τοὺς χορούς, τὸν σὸν Δεσπότην ὕμνησας, ἐν ἡμέρᾳ ἀπαύστως καὶ ἐν νυκτί, καὶ γῆν κατεσκήνωσας, τῶν πραέων θεόφρον ἀγαλλόμενος.

*Θεοτοκίον.*

Ἰάσω Πανάχραντε, συντριβέντα τὸν Ἀδάμ, τῷ πάλαι παραπτώματι, τὸν σὸν πλάστην ἀσπόρως ἐν τῇ γαστρί, Ἁγνὴ σωματώσασα, καὶ τεκοῦσα ὡς πρὶν Παρθένος ἔμεινας.

*Ὠιδὴ Ζ΄ Δροσοβόλον μὲν τὴν κάμινον.*

Πρᾶος ἄκακος ἀκέραιος Εὐθύμιε, γέγονας τὸν Δεσπότην τὸν σόν, ἐκμιμούμενος θεοφόρε, καὶ ὡς ἀληθῶς, ὁσίων ὡράθης κορωνίς, τῶν ἀρετῶν ὑφηγητής, καὶ ἀκροθίνιον.

Ῥήματί σου δαιμονῶντας ἐθεράπευσας, ὅσιε καὶ μελλόντων ἀεί, τὰς ἐκβάσεις προαγορεύων, Πάτερ εὐκρινῶς, τοῦ Πνεύματος ὄργανον ὡς ὤν, τοῦ παναγίου καθαρὸν καὶ ἐνδιαίτημα.

Σάββα Πάτερ τοῦ θεόφρονος φοιτήσαντος, ἅγιε διαπύρῳ πρός σέ, πόθῳ τούτῳ χειραγωγία, πρὸς ἀσκητικήν, ἐγένου σοφὲ διατριβήν, καὶ τελειότητα πανάριστε Εὐθύμιε.

*Θεοτοκίον.*

Ὡς ὡραῖάν σε ὁ Λόγος ἐξελέξατο, ἄμωμον καὶ Παρθένον Ἁγνή, καὶ τῇ μήτρᾳ κατασκηνώσας, ἄνανδρε τῇ σῇ, Ἀδάμ τὸν φθαρέντα ὑποδύς, τοῦτον ἐθέωσεν ὁ μόνος πολυέλεος.

*Ὠιδὴ Η΄ Ἐκ φλογὸς τοῖς ὁσίοις.*

Ταπεινώσεως ὅσιε ἐντευκτήριον, καὶ δοχεῖον νηστείας παναλκιμώτατον, καὶ τῇ προσευχῇ θεοφόρε Εὐθύμιε, τῶν ἀΰλων νόων, τὰς τάξεις ἐμιμήσω.

Ὑψιπέτης καθάπερ Πάτερ ἐπέτασας, ἀετὸς πρὸς τὰ ὕψη μακαριώτατε, τὰ ἀγαπητὰ καὶ ποθούμενα ὅσιε, ἀρετῶν ἐν ὕλῃ, ὁρώμενος θεόφρον.

Φωταυγείαις Εὐθύμιε περιηύγασας, τῶν θαυμάτων σου Πάτερ τὴν κτίσιν ἅπασαν, καὶ τῶν δυσμενῶν, ἀπελαύνων τὰς φάλαγγας, ἀοράτων ὤφθης τῶν πονηρῶν δαιμόνων.

*Θεοτοκίον.*

Νεμομένην Θεόνυμφε ἀνεχαίτησας, τὴν φθορὰν τοῦ θανάτου τὸν ὑπερούσιον, ἐν τῇ σῇ γαστρὶ σωματώσασα Πάναγνε, ὑπὲρ νοῦν καὶ λόγον, καὶ ἔννοιαν ἀσπόρως.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὠιδὴ Θ΄ Θεὸν ἀνθρώποις.

Χαρᾶς ἡμέρα ἡ πανεόρτιος, τοῦ πανοσίου μνήμη, Εὐθυμίου ἐφέστηκε, διὸ πίστει ἅπαντες, Ὁσίων χοροί, ἄσμασι καὶ ἐν ὕμνοις, πανηγυρίσωμεν, συνελθόντες σήμερον, ἐνθέως ἀγαλλόμενοι.

Ψαλμοῖς καὶ ὕμνοις Πάτερ γεραίρομεν, τῶν σῶν κατορθωμάτων τὴν πληθὺν δι᾽ ὧν ὤλεσας, τῶν δαιμόνων φάλαγγας καὶ ὢν ἐν σαρκί, ἄγγελος καθωράθης, καὶ ἀκροθίνιον, καὶ ὑπογραμμὸς τῶν μοναζόντων καὶ ἀγλάϊσμα.

Ὠιδὴν Εὐθύμιε ἐναρμόνιον, ἐν οὐρανοῖς τῷ θρόνῳ παριστάμενος ὅσιε, σὺν ἀγγέλων τάγμασι, Χριστοῦ τοῦ Θεοῦ, μέλπων τῶν ὑμνητῶν σου, μέμνησο ἅγιε, τῶν σοὶ δεομένων Πάτερ πλήρου τὰ αἰτήματα.

Θεοτοκίον.

Μερίδος Κόρη τυχεῖν ἐλπίζομεν, τῶν σωζομένων ἅπαντες, ἐν τῷδε τῷ Ὄρει σου, τῷ Ἁγίῳ τοῦ γὰρ ὑπέσχου σεμνή, οἷα τοῦ Λόγου, Μήτηρ, ὅθεν ἐν πίστει σε, καὶ ἐν πόθῳ ἄσμασιν ἀεὶ μεγαλύνομεν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Προσόμοια.

### Ὅλην ἀποθέμενοι. Ἦχος πλ.β΄.

Δεῦτε τοῦ τρισμάκαρος, τὴν πανεόρτιον μνήμην, ἐν ᾠδαῖς καὶ ᾄσμασι, στέψωμεν φιλόχριστοι, καὶ φιλόσιοι, τοῦ Πατρὸς ἅπαντες, θείου Εὐθυμίου, τοῦ φωστῆρος δίκην λάμψαντος, ἐν ἀγωνίσμασι, τοῖς ἀσκητικοῖς καὶ παλαίσμασι, καὶ πᾶσαν τὴν περίγειον, ταῖς φωταγωγίαις αὐγάσαντος, τῶν αὐτοῦ θαυμάτων, καὶ πίστει ἐκβοήσωμεν αὐτῷ, ἡμᾶς ἐκ πάσης περίσωζε, Πάτερ περιστάσεως.

Κόσμον καταλέλοιπας, προφρόνως ὅσιε Πάτερ, καὶ ἐρήμους ᾤκησας, ὥσπερ τῆς ἀσκήσεως θεῖα σκάμματα. νουνεχῶς ἔστησας, καὶ τῇ ἐγκρατείᾳ, καὶ εὐχαῖς ἀεὶ καὶ δάκρυσι, σχολάζων γέγονας, τοῦ Ἁγίου Πνεύματος ὄργανον, τὰ πόρρῳ προορώμενος, καὶ ἀποπεμπόμενος δαίμονας, καὶ λιπῶν τὰ ᾧδε, ἐσκήνωσας τρισμάκαρ ἐν μοναῖς, τῶν ἐκλεκτῶν πρέσβυς ἄπαυστος καὶ ἡμῶν γενόμενος.

Ὄντως εἰς μνημόσυνον, ἀεὶ ὁ δίκαιος ἔσται, ὁ Δαβὶδ αἰώνιον, πάλαι γὰρ ἐφθέγξατο, θείῳ Πνεύματι, τοῦ Χριστοῦ σήμερον, ὁ πιστὸς οἰκέτης, καὶ θεράπων γνησιώτατος, ὕμνοις γεραίρεται, καὶ δαβιτικῶς μακαρίζεται, ὁ ὕλῃ καθωρόμενος, καὶ τῶν ἀσωμάτων ἐφάμιλλος,

ὁ σὺν τοῖς ἀγγέλοις, τῷ θρόνῳ τοῦ Δεσπότου παρεστώς, τὴν σωτηρίαν αἰτούμενος ἀεὶ τῶν ψυχῶν ἡμῶν.

Πᾶσα ἡ οὐράνιος, καὶ ἡ περίγειος φύσις, ὡς Θεοῦ λοχεύτριαν, Παναγία Δέσποινα μακαρίζει σε, καὶ ἀεὶ ὕμνοις σε, ἐνθέοις Παρθένε, μεγαλύνει ὡς χωρήσασαν, τὸν ἀκατάληπτον, Κόρη τῷ παντὶ καὶ ἀχώρητον, Πατρὸς τὸν ὁμοούσιον, καὶ Ἁγίου Πνεύματος σύνθρονον, ὅνπερ ἐκδυσώπει, αὐτοῦ τὴν Ἐκκλησίαν ἀγαθή, διαφυλάττειν ἀπήμαντον, ἐκ πάσης κακώσεως.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ